πατέρα τέκνα τε τάδε σέθεν ἀφ᾽ αἵματος·
ὀλόμεθ᾽ ἰσονέκυες, ὀλόμεθα·
σύ τε γὰρ ἐν νεκροῖς, τό τ᾽ ἐμὸν οἴχεται
βίου τὸ πλέον μέρος· ἐν
στοναχαῖσί τε καὶ γόοι-
σ⟨ι⟩ δάκρυσί τ᾽ ἐννυχίοις.
†ἄγαμος ἐπὶ δ᾽ ἄτεκνος ἅτε†
βίοτον ἁ μέλεος ἐς τὸν αἰ-
ἐν ἕλκω χρόνον.

ΧΟ. ὅρα παροῦσα, παρθέν᾽ Ἠλέκτρα, πέλας,
μὴ κατθανών σε σύγγονος λέληθ᾽ ὅδε·
οὐ γάρ μ᾽ ἀρέσκει τῷ λίαν παρειμένῳ.

ΟΡΕΣΤΗΣ

ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προσῆλθες — ἐν δέοντί γε.
ὦ πότνια Λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.
πόθεν ποτ᾽ ἦλθον δεῦρο; πῶς δ᾽ ἀφικόμην;
ἀμνημονῶ γὰρ τῶν πρὶν ἀπολειφθεὶς φρενῶν.